ΛΙΒΕΛΛΟΣ ΟΝ ΕΔΩΚΕ ΤΩι ΒΑΣΙΛΕΙ ΡΩΜΑΙΩΝ ΚΑΙ ΤΩ ΠΑΠΑ ΛΑΤΙΝΩΝ Ο ΑΓΙΟΣ ΜΑΡΚΟΣ ΕΦΕΣΟΥ Ο ΕΥΓΕΝΙΚΟΣ ΕΚ ΜΕΡΟΥΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ, ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΕΙΣ ΕΝΩΣΙΝ ΕΛΕΓΧΩΝ ΤΗΝ ΚΑΚΟΦΡΟΣΥΝΗΝ ΤΩΝ ΔΥΤΙΚΩΝ, ΚΑΙ ΜΑΛΙΣΤΑ ΤΑ ΕΛΑΤΤΩΜΑΤΑ ΤΩΝ ΑΖΥΜΩΝ.

«Ὑμεῖς ἐστὲ σῶμα χριστοῦ καὶ μέλη ἐκ μέρους.»

«Σήμερον τῆς Παγκοσμίου χαρᾶς τὰ προοίμια, σήμερον »αἱ νοηταὶ ἀκτῖνες τοῦ τῆς εἰρήνης ἡλίου τῇ οἰκουμένῃ πά»σῃ προανατέλουσι· σήμερον τὰ τοῦ Δεσποτικοῦ σώματος »μέλη, πολλοῖς πρότερον χρόνοις διεσπαρμένα τε καὶ ἐρ»ρηγμένα πρὸς τὴν ἕνωσιν ἀλλήλων ἐπείγεται, οὐ γὰρ ἀ»νέχεται ἡ κεφαλὴ πάντων Χριστὸς ὁ Θεὸς ἐφιστάναι διη»ρημένῳ τῷ σώματι, οὐδὲ τὸν τῆς ἀγάπης δεσμὸν ἐξ ἡμῶν »ἀνῃρῆσθαι παντάπασιν ἡ ἀγάπη βούλεται· διὰ τοῦτο ἐξή»γειρε σε τὸν τῶν Ἱερέων αὐτοῦ πρωτεύοντα, πρὸς τὴν »ἡμετέραν ταύτην κλῆσιν, καὶ τὸν εὐσεβέστατον ἡμῶν Βα»σιλέα πρὸς τὴν σὴν ὑπακοὴν διανέστησε, καὶ τὸν ἁγιώτα»τον ἡμῶν Ποιμένα καὶ Πατριάρχην, γήρως ἐπιλαθέσθαι, »καὶ ἀσθενείας μακρὰς παρεσκεύασε, καὶ ἡμᾶς τοὺς ὑπ᾽ αὐ»τῷ ποιμενομένους ἁπανταχόθεν συνήθροισε, καὶ μακρᾶς »ὁδοῦ καὶ πελάγους, καὶ κινδύνων ἑτέρων κατατολμῆσαι »πεποίηκεν, ἀφ᾽ οὗ προφανῶς Θεοῦ δυνάμει καὶ κρίσει γε»γένηται· καὶ τόπερ ὁποῖον ἔσται καλὸν καὶ Θεῷ φίλον, »ἐντεῦθεν ἤδη προοιμιάζεται· δεῦρο δὴ οὖν, ἁγιώτατε πά»τερ, ὑπόδεξαι τὰ σὰ τέκνα μακρόθεν ἐξ ἀνατολῶν ἥκοντα, »περιπτῦξαι τοὺς ἐκ μακροῦ διεστῶτας τοῦ χρόνου, πρὸς »τὰς σὰς καταφυγόντας ἀγκάλας· θεράπευσον τοὺς σκαν»δαλισθέντας, ἅπαν σκῶλον καὶ πρόσκομμα τῆς εἰρήνης »κωλυτικὸν ἐκ μέσου γενέσθαι κέλευσον· εἰπὲ καὶ αὐτὸς »τοῖς ἀγγέλοις ὡς τοῦ Θεοῦ μιμητής, ὁδοποιήσατε τῷ λαῷ »μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρρίψατε· μέχρι τί»νος οἱ τοῦ αὐτοῦ Χριστοῦ, καὶ τῆς αὐτῆς πίστεως βάλ»λομεν ἀλλήλους καὶ κατατέμνομεν; μέχρι τίνος οἱ τῆς »αὐτῆς Τριάδος προσκυνηταὶ δάκνομεν ἀλλήλους καὶ κα»τεσθίομεν, ἕως ἂν ὑπ᾽ ἀλλήλων ἀναλωθῶμεν, καὶ ὑπὸ τῶν »ἔξωθεν ἐχθρῶν εἰς τὸ μηκέτι εἶναι χωρίσωμεν; Μὴ γένοιτο, »Χριστὲ βασιλεῦ τοῦτο, μηδὲ νικήσῃ τὴν σὴν ἀγαθότητα